θέλουσιν ὑπόνοιαν λέγοντες μηδαμῶς τὴν θείαν λαμπρότητα ὑπὸ τῆς τοῦ πονηροῦ συνδιατριβῆς μολύνεσθαι, κἂν ὁπωσοῦν πλησιάζοι, φησίν, ἐν τῇ ψυχῇ τὸ φῶς τὸ θεῖον τῇ σκοτίᾳ τοῦ δαίμονος. Ὑπὸ δὲ αὐτοῦ τοῦ εὐαγγελικοῦ ῥητοῦ ἔξω τῶν ἁγίων γραφῶν φρονοῦντες ἐλέγχονται. Ἐπειδὴ γὰρ ὁ λόγος τοῦ θεοῦ τὸ φῶς τὸ ἀληθινὸν τῇ ἑαυτοῦ ἐν σαρκὶ ἐπιφανῆναι κατηξίωσε κτίσει, ἀμέτρῳ φιλανθρωπίᾳ τὸ φῶς αὐτοῦ παρ᾽ ἡμῖν ἀνάψας τῆς ἁγίας γνώσεως, τὸ δὲ φρόνημα τοῦ κόσμου τὴν βουλὴν οὐ κατέλαβε τοῦ θεοῦ, τοῦτ᾽ ἔστιν οὐκ ἔγνω, ἐπειδὴ τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν· τούτου χάριν τοιούτῳ ὁ θεολόγος ἐχρήσατο ῥήματι· ἀμέλει ὀλίγα εἰρηκὼς μέσα ὁ θεσπέσιος ἐπάγει· Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀντὶ τοῦ ὁδηγεῖ καὶ ζωοποιεῖ· ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθε καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Λέγει δὲ καὶ ὁ σοφώτατος Παῦλος ἑρμηνεύων τὸ οὐ κατέλαβεν· Οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω δέ, εἰ καὶ καταλάβω, ἐφ᾽ ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ Ἰησοῦ. Ὥστε οὐ τὸν Σατανᾶν λέγει ὁ εὐαγγελιστὴς μὴ κατειληφέναι τὸ φῶς τὸ ἀληθινόν· ἀπ᾽ ἀρχῆς γὰρ ἀλλότριος αὐτοῦ ἐστιν, ἐπειδὴ οὐδὲ ἐν αὐτῷ φαίνει· ἀλλὰ τοὺς ἀκούοντας μὲν ἀνθρώπους τὰς δυναστείας καὶ τὰ θαυμάσια τοῦ υἱοῦ τοῦ θεοῦ, μὴ θέλοντας δὲ προσεγγίσαι διὰ τὴν ἐσκοτισμένην αὐτῶν καρδίαν τῷ φωτὶ τῆς γνώσεως αὐτοῦ, διὰ τοῦ λόγου ἀξίως ἀτιμάζει.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417108427/63 UNIVERSITÄT LEIPZIG